† Μνήμη τοῦ Ἁγίου Μοδέστου Ἀρχιεπισκόπου Ἱεροσολύμων.

ΟΡΘΡΟΣ

Μετὰ τὸν Ἑξάψαλμον,...

Συναπτὴ μεγάλη καὶ ἡ Ἐκφώνησις

Ὅτι πρέπει σοι πᾶσα δόξα...

Ἦχος δ΄.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ, α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τόν αἰῶνα τό ἔλεος αὐτοῦ.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ,β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ, γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Ἀπολυτίκιον.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ὁσίως τὸν βίον σου διαπεράνας σοφέ, ποδήρει κεκόσμησας, ἱερωσύνης φαιδρῷ, ἱερόαθλε Μόδεστε, ὅθεν καὶ ἐναθλήσας, προθυμώτατα Πάτερ, νῦν ἐν ἀγαλλιάσει, τῷ Χριστῷ συναγάλλῃ, πρεσβεύων ὑπὲρ πάντων ἡμῶν τῶν εὐφημούντων σε.

Δόξα... Τὸ αὐτὸ

Καὶ νῦν... Θεοτοκίον

Τὸ ἀπ΄ αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωστον μυστήριον· διὰ σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται, Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος, δι΄ οὗ ἀναστήσας τὸν πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις

Ὅτι σὸν τὸ κράτος...

Μετὰ τὴν α΄ στιχολογίαν, κάθισμα.

Ἦχος α΄.

Τὸν τάφον Σου Σωτήρ.

Εὐφραίνου η Σιών, ἡ ἁγία ἰδοὺ γάρ, ἐπέφανέ σοι νῦν, σοῦ ποιμένος Μοδέστου, ἡ ἔνδοξος ἄθλησις, τοὺς πιστούς καταυγάζουσα, ὅθεν σκίρτησον, μετὰ ποιμένων βοώσα· δόξης στέφανος, σὺ του ποιμένος μου πέλεις, Χριστέ πολυέλεε.

Δόξα. Καὶ νῦν. Προεόρτιον.

Ἀγάλλου η Σιών, Βηθλεὲμ εὐτρεπίζου, ὁ πάντων συνοχεύς, τὸν ἀστέρα προπέμψας, ἐμήνυσε τὴν ἄμετρον, καὶ αὐτοῦ συγκατάβασιν, ὃν γὰρ τρέμουσι, τῶν οὐρανῶν αἱ δυνάμεις, ὄντως ἔρχεσθαι, ἐκ τῆς παρθένου τεχθῆναι, ὁ μόνος φιλάνθρωπος.

Μετὰ τὴν β΄ στιχολογίαν, κάθισμα.

Ἦχος δ΄.

Ὁ ὑψωθείς.

Ἱερωσύνης τῷ φωτὶ διαλάμπων, ἐφωταγώγησας λαοὺς Ἱεράρχα, τὸ τῶν εἰδώλων σκότος τε ἠφάνισας, αἴγλῃ ἰαμάτων δέ, τῶν παθῶν τὴν ὁμίχλην, λύσας μεταβέβηκας, πρὸς τὸ ἄδυτον φέγγος, ὑπὲρ ἡμῶν πρεσβεύων ἐκτενώς, τῶν σε τιμώντων ἀοίδιμε Μόδεστε.

Δόξα.

Ἡ ἱερά σου καὶ πανέντιμος μνήμη, πεποικιλμένη ποικιλία χαρίτων, πάντας πιστοὺς φαιδρύνουσα ἀνέταλεν ἰδού, οὕσπερ καὶ συνάξασα, τῷ σῷ θείῳ τεμένει, πίστει σοι παρίστανται, ἐντρυφῆσας ποθοῦντες, ἀειθαλᾶς καρποὺς ὑπερφυῶν, καὶ παραδόξων θαυμάτων σου Μόδεστε.

Καὶ νῦν. Προεόρτιον.

Νῦν περαιοῦνται Προφητῶν αἱ προρρήσεις, ἡ Θεοτόκος Μαριὰμ γὰρ ἐπέστη, ἀποτεκεῖν βροτῶν τὴν ἀπολύτρωσιν, ἄνωθεν προτρέχουσιν οὐρανῶν αἱ δυνάμεις, δόξαν ἀναπέμπουσαι, δι' ἡμᾶς τῷ τεχθέντι, καὶ βασιλεῖς προέρχοντας Περσῶν, αὐτῷ σὺν δώροις, προσπέσας γηθόμενοι.

Μετὰ τὸν Πολυέλεον, κάθισμα.

Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Καταπλήττονται τὴν σήν, Μάρτυς Χριστοῦ ὑπομονήν, καὶ θαυμάζουσι Θεοῦ, τὰ μεγαλεῖα γηγενεῖς, καὶ τὴν πολλὴν εἰς σὲ Πάτερ οἰκονομίαν, πῶς τὸ ἀσθενὲς τῆς ταπεινώσεως, σῶμα ἀντοχῆν τοσαύτῃ ἴσχυσε, πληθύϊ τῶν κολάσεων, καὶ ἀσινὲς ἐφυλάττετο, Χριστὲ Μαρτύρων, καὶ ἱερέων, σὺ εἶ δόξα καὶ στέφανος.

Δόξα. Καὶ νῦν. Προεόρτιον.

Ἦχος δ'. Ταχύ προκατάλαβε

Παρθένοι προεξάρξατε, τῇ τῆς Παρθένου χαρά, μητέρες αἰνέσατε, τὴν προπομπὴν τῆς Μητρός, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, μάγοι σὺν τοῖς ἀγγέλοις, σὺν ἡμῖν οἱ ποιμένες, ἔρχεται γὰρ ἐν πόλει, Βηθλεὲμ τοῦ γεννῆσαι, αὐτῆς ταῖς ἱκεσίαις, σῶσον ἡμᾶς ὁ Θεός.

Τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου.

Ἀντίφωνον Α'.

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη· ἀλλ' αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου. (δίς)

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμένοι. (δίς)

Δόξα.

Ἁγίῳ Πνεύματι πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται, λαμπρύνεται, τῇ τριαδικῇ μονάδι ἱεροκρυφίως.

Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν πρὸς ζωογονίαν.

Προκείμενον. Ψαλμὸς ριγ' 113

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ. (δίς)

Στίχ. Τί ἀνταποδόσωμεν τῷ Κυρίῳ...

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

Ἡ Τάξις τοῦ Εὐαγγελίου τοῦ Ὄρθρου

Ἦχος β'.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Αἰνεσάτω πνοὴ πᾶσα τὸν Κύριον.

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ

Δόξα σοι, Κύριε, δόξα σοι.

Καὶ εὐθὺς ὁ Ν' Ψαλμὸς χῦμα.

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διὰ παντὸς.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμα σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.

Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεὸς, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν ἔδωκα ἂν ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Δόξα Πατρὶ... Ἦχος β΄

Ταῖς τοῦ Ἱεράρχου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν...

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἰδιόμελον. Ἦχος πλ. β΄

Δεῦτε πιστοί, χορείαν συγκροτήσαντες, ἐπὶ τῇ μνήμῃ τοῦ Ἱερομάρτυρος Μοδέστου· ᾄσμάτων ἐγκωμίοις αὐτὸν καταστέψωμεν. Οὗτος γὰρ τῶν τυράννων τὸ θράσος καταβαλών, καὶ τὴν πλάνην τῶν Ἰουδαίων καταισχύνας, αἵμασι μαρτυρικοῖς τὴν ἀρχιερατικὴν στολὴν κατελάμπρυνεν. Αὐτὸν οὖν καὶ ἡμᾶς, ὡς παῤῥησίαν ἔχοντα

πρὸς Κύριον, μεσίτην πρὸς Αὐτὸν προσάξωμεν, καὶ πρέσβυν προβαλλώμεθα, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.(δ')

Ἐλέει καὶ οἰκτιρμοῖς...

Εἶτα οἱ Κανόνες· τῆς Θεοτόκου καὶ τοῦ Ἁγίου.

Ὁ Κανὼν τῆς Θεοτόκου.

Ὠδὴ α'. Ἦχος πλ. β'.

Ὡς ἐν ἠπείρῳ πεζεύσας.

Σπίχ. **Ὑ**περαγία Θεοτόκε, σῶσον ἡμᾶς.

Σὲ Παναγία Παρθένε τὸν οὐρανόν, ὁ τανύσας Κύριος, καὶ τὴν γῆν θεμελιῶν, οὐρανὸν ἐπίγειον ἐκ σοῦ, προελθὼν μετὰ σαρκός, ἡμῖν ἀνέδειξε.

Σπίχ. **Ὑ**περαγία Θεοτόκε, σῶσον ἡμᾶς.

Σὲ τοῦ Θεοῦ τὸ χωρίον τοῦ μηδαμοῦ, χωρουμένου Δέσποινα, τὴν σκηνὴν τὴν νοητήν, τὸ τερπνὸν ἁγίασμα πιστῶν, καὶ κραταίωμα ἀεί, πάντες δοξάζομεν.

Σπίχ. **Ὑ**περαγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἱερωτάτη χορεία των προφητῶν, προεδήλου πόῤῥωθεν, ἐσομένην σε Θεοῦ, ἀληθῆ λοχεύτριαν ἀγνή, ἀνωτέραν Χερουβίμ, καὶ πάσης Κτίσεως.

Σπίχ. **Ὑ**περαγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὁ ἐκ μὴ ὄντων τὰ πάντα παραγαγών, Θεὸς Λόγος πάναγνε, ἐξ' ἀσπόρου σου γαστρός, ὑπὲρ νοῦν σεσάρκωται διό, Θεοτόκον πιστοὶ ἀεὶ δοξάζομεν.

Καὶ τοῦ Ἁγίου.

Ὠδὴ α'.

Ἦχος πλ. β'.

Κύματι θαλάσσης.

Σπίχ. **Ἄ**γιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Στόματι πηλίνῳ, καὶ γλώσσῃ γεώδει, σὲ τὸν ἰσάγγελον, ὑμῖν ὁρμῶντί μοι, Μόδεστε φῶς οὐρανόθεν, δυσωπῶ σε ταῖς πρεσβείαις σου, ἐξαστράψας φώτισον, τὸν νοῦν, καὶ τὴν καρδίαν μου.

Σπίχ. **Ἄ**γιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὕλην φθειρομένην καὶ ῥέουσαν δόξαν, καὶ κόσμον σύμπτυντα, καὶ κοσμοκράτορα, παραδραμὼν ἀντὶ πάντων, τὸν Χριστὸν ἐκτήσω Μόδεστε, οὗ τρωθῶ τῷ ἔρωτι, ἐν ἠθλησας στερρότατα.

Σπίχ. **Ἄ**γιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Μέγας ἐν σημείοις καὶ τέρασιν ὤφθης, πολὺς ἐν θαύμασι, καὶ περιβόητος, ὕδατι μόνῳ ῥαντίζων, καὶ ἰώμενος τοὺς κάμνοντας, βροτοὺς σὺν τοῖς κτήνεσιν, ὡς λίαν συμπαθέστατος.

Σπίχ. **Ὑ**περαγία Θεοτόκε, σῶσον ἡμᾶς. Θεοτοκίον.

Γένος τῶν ἀνθρώπων, βουλόμενος σῶσας, ὁ ὑπεράγαθος, μήτραν ἐσκήνωσεν, ἀπειρογάμου παρθένου, καὶ ἰδοὺ τεχθῆναι ἔρχεται, τοῦτον προσκυνήσωμεν, ἐνδόξως γὰρ δεδόξασται.

Ἕτερος Κανὼν τοῦ Ἁγίου. Ὠδὴ α'.

Ἦχος πλ. δ'. Ἁρματηλάτην Φαραώ.

Σπίχ. **Ἄ**γιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τὴν κυκλουμένην ἐπταχῶς καὶ ῥέουσαν, ἑβδόμην πρόσκαιρον, διαδραμὼν πάτερ, τὴν ὀγδόην ἔφθασας, ἡμέραν τὴν τοῦ μέλλοντος, ὅθεν ὄγδοον ἦχον, τοῦτόν σοι πλέκοντα ῥύσαί με, τῶν ἐν τῇ ὀγδόῃ κολάσεων.

Σπίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὑπεραρθεὶς τῆς ἀπαθείας πτέρυξι, τῶν χαμαιζήλων παθῶν, καὶ τὸ παχὺ σκῆνος, καὶ βαρὺ ἐφόλκιον, λεπτύνας μάκαρ Μόδεστε, καὶ κουφίσας ἐδείχθης, σταδιοδρόμος οὐράνιος, εὐσταλὴς καὶ κοῦφος καὶ εὔζωνος.

Δόξα...

Τὸν δι' ἡμᾶς τὸ καθ' ἡμᾶς φορέσαντα, ὁμολογήσας Χριστόν, Υἱὸν Θεοῦ ζῶντος, θεολόγῳ γλώσσῃ σου, τῶν τυραννούντων ἔμπροσθεν, πείραν πλείστων βαρβάρων, καὶ τέλος θάνατον Μόδεστε, ἤνεγκας ψυχῆς γενναιότητι.

Καὶ νῦν... Θεοτοκίον

Ἀκατασχέτοις, καθ' ἡμῶν ὁ θάνατος, ὁρμαῖς ἐκέχρητο, ἀλλὰ τῷ σῷ τόκῳ, προσεγγίσας ὤχετο, καὶ προβαλὼν κατήργηται, Θεοτόκε Παρθένε, ζωὴν γὰρ ὄντως ἀΐδιον, σεσωματωμένην γεγέννηκας.

Ὠδὴ γ'. Τῆς Θεοτόκου.

Ἦχος πλ. β'. Οὐκ ἔστιν Ἅγιος ὡς σύ.

Σπίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἐκπλήττει νοῦν καὶ ἀκοήν, τὸ μυστήριον ὄντως, τῆς λοχείας σου Κόρη, Θεὸν γὰρ ὑπερφυῶς, συνέλαβες ἐν γαστρί, καὶ τεκοῦσα μένεις ὡς καὶ πρότερον.

Σπίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Χερσὶ κατέχουσα Χριστόν, τὸν κατέχοντα πάντα, ἐκ χειρὸς ἡμᾶς ῥῦσαι, διαβόλου πονηρᾶς, θεογεννῆτορ ἁγνή, καὶ παντοίας βλάβης δυσωπούμενος.

Σπίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Μαρία Μῆτερ τοῦ φωτός, φώτισον τὴν ψυχήν μου, τὴν πολλαῖς ἁμαρτίαις, σκοτισθεῖσαν χαλεπῶς, καὶ βέλη του πονηροῦ, πληγωθεῖσαν καὶ ἐξασθενήσασαν.

Σπίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἰδού σε πᾶσαι γενεαί, μακαρίζουσι πίστει, τὴν τὸν ἄχρονον λόγον, ἐν σώματι χρονικῷ, τεκοῦσαν ὑπερφυῶς, καὶ παρθένον πάλιν διαμείνασαν.

Ὁ α' τοῦ Ἁγίου.

Ἦχος πλ. β'.

Σὲ τῶν ἐπὶ ὑδάτων.

Σπίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Μέλλοντι ἀναβαίνειν, ὡς μέγιστον ὕψος ἱερωσύνης νυκτὸς ἐπὶ τὰς θύρας, τοῦ ἱεροῦ πάτερ ἔφθασας καὶ προσευχῇ ἐμμόνῳ σου, ταύτας ἠνέῳξας, χρηματισθεὶς τῷ ἐγχειρήματι.

Σπίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐχθροὺς τοὺς ἀοράτους, καὶ δράκοντας νοητοὺς τῇ δυνάμει, Χριστοῦ καταπατήσας, καὶ βασιλέα τὸν ἔχθιστον, καὶ σοβαρὸν τῇ χάριτι, σταυροῦ κατέβαλες, ἐναθλήσας καρτερώτατα.

Σπίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἵνα χωρήσῃς ὅλην, τὴν ἔλλαμψιν τῆς Ἁγίας Τριάδος, ἐστίλβωσας τὸν νοῦν σου, οἷα νεόσμηκτον ἔσο κάτοπτρον, καὶ τὴν ψυχὴν ἐλάμπρυνας, Μόδεστε ἔνδοξε, ἀρετῶν καθαρωτάτῳ φωτί.

Σπίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς. Θεοτοκίον.

Ἡ σύλληψις ἄνευ πάθους, ἡ πρόσληψις ὑπὲρ λόγον Παρθένε, τοῦ τόκου προῆλθε, τὸ γὰρ προφήταις θρυλλούμενον, ὑπερφυῶς μυστήριον, ἡμῖν ἐπέφανε, λόγος τοῦ Θεοῦ ὑπάρχων Θεός.

Ὁ β΄ Κανὼν τοῦ Ἁγίου.

Ἦχος πλ. δ΄. Ὁ στερεώσας κατ' ἀρχάς.

Σπίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Νενευρωμένος τοῦ Χριστοῦ, του μακαρίου δυνάστου, δυναστεία παναλκεῖ καὶ τῷ ὅπλῳ, ὁπλισμένος τοῦ σταυροῦ, τὴν κεφαλὴν διέκοψας, τοῦ δυσμενοῦς δυνάστου, ὡς ἐν ἐκστάσει πανεύφημε.

Σπίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ναμάτων θείων ποταμός, πεπληρωμένος ὡράθης, ζωηρῶν πνευματικῶν χαρισμάτων, ἐκ Σιὼν ὡς ἐξ Ἐδέμ, ἐξορμημένοι Μόδεστε, καὶ νοερῶς κατάρδων, τῆς Ἐκκλησίας τὰς αὐλακας.

Δόξα...

Γνῶσιν τῶν ὄντων ἐσχηκώς, τοῦτο γὰρ ὅρος σοφίας, φιλοσόφως κατορχήσω τῶν τῆδε, τὸ πολίτευμα τὸ σόν, ἐν οὐρανοῖς κτησάμενος, διὸ ἐπουρανίου, ἔτυχες μακαριότητος.

Καὶ νῦν... Θεοτοκίον

Μῶμος ἐν σοὶ καὶ μολυσμός, οὐκ ἔστιν ὅλως Παρθένε, ἐνδιαίτημα δὲ μᾶλλον ἐφάνης, οὐρανίων ἀρετῶν, ἐν σοὶ γὰρ κατεσκήνωσε, τῶν ἀρετῶν ἡ πᾶσα, ἁγιωσύνη πανάμωμε.

Συναπτὴ μικρὰ καὶ ἡ Ἐκφώνησις

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν,...

Κάθισμα.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Φαιδρύνας τὸν βίον σου τῶν ἀρετῶν καλλοναῖς, ποιμὴν ἀνηγόρευσας, καὶ ἱεράρχης σεπτός, πανένδοξε Μόδεστε, αἵματι μαρτυρίου, σεαυτὸν δὲ φοινίξας, ἄνω πρὸς τὰς ἀΰλους, μετετέχθης χορείας, μεθ' ὧν ὑπὲρ ἡμῶν, τὸν Χριστὸν Πάτερ ἱκέτευε.

Δόξα. Καὶ νῦν. Προεόρτιον.

Ἐνθέως εὐφραίνεται, ἡ κτίσις σήμερον, Χριστὸς γὰρ ὁ Κύριος, ὁ τοῦ Θεοῦ μου Υἱός, ἐκ κόρης γεννᾶται ἁγνῆς, ἅπαν τὸ τῶν ἀνθρώπων, γένος ἀνατίζων, λύων καὶ τὴν κατάραν, τῆς προμήτορος Εὔας, διὸ ὡς εὐεργέτη ἡμῶν, ᾆσμα προσάξωμεν.

Συναπτὴ μικρὰ καὶ ἡ Ἐκφώνησις

Σὺ γὰρ εἶ ὁ Βασιλεύς...

Κοντάκιον.

Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Ἰακώβου μάκαρ σε τοῦ ἀδελφοῦ τοῦ Κυρίου, ἀρετῶν διάδοχον, ὡς καὶ τοῦ θρόνου καὶ τέλους, στέφομεν τὴν θείαν κάραν σου ὡς εἰδότες, κράζοντες· μὴ ὑπερίδῃς τοὺς σοὺς ἱκέτας, τοὺς τὴν μνήμην σου

τελοῦντας, ἱερέων καὶ Μαρτύρων, Μόδεστε καύχημα.

Ὁ Οἶκος.

Τῶν ἱερέων τὸ ἔκλαμπρον κλεός, καὶ τῶν Μαρτύρων τὴν πάντερπνον δόξαν, δεῦτε πάντες ἐν ὕμνοις τῶν ἀσμάτων πιστῶς Μόδεστον εὐφημήσωμεν. Τὸν γὰρ ἐχθρὸν ἐκνικήσας βελιάρ, ἐν ἄθλοις σεπτοῖς, ὀμβρίζει ἡμῖν, ἀντὶ αἱμάτων ἱερῶν, ἰαμάτων ἀκένωτα ῥεύματα, τοῖς τελούσι τὴν μνήμην αὐτοῦ τὴν ὑπέρλαμπρον, καὶ βοῶσι πρὸς αὐτὸν μετὰ ζεούσης προθυμίας, καὶ πίστεως· Χαίροις τῶν ἱερέων καὶ Μαρτύρων, Μόδεστε καύχημα.

Συναξάριον.

Τῇ ιστ΄ τοῦ αὐτοῦ Μηνός, Μνήμη τοῦ Ἁγίου Ἱερομάρτυρος Μοδέστου, ἀρχιεπισκόπου Ἱεροσολύμων.

Φέρει Μόδεστε παμμάκαρ, καὶ σὸν τάφον,

ἡ τὸν τάφον φέρουσα γῆ τοῦ Κυρίου.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου καὶ Ἐνδόξου Προφήτου Ἀγγαίου.

Στίχοι

Ἀγγαῖος, ἄγγος πλῆρες ὤφθη χαρίτων.

Ὡς ὑλικὸν δέ, τῷ χρόνῳ συνετρίβη.

Ἕκτῃ καὶ δεκάτῃ Ἀγγαῖον γαῖα συνέσχεν.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Μαρίνου.

Στίχοι

Κάραν Μαρῖνος εὐτρεπίζει τῷ ξίφει,

Ἧς ὁ στέφανος εὐπρεπὴς ἐκ Κυρίου.

Τῇ αὐτῇ ἡμέρᾳ , Οἱ Ἅγιοι Πρόβος (ἢ Πρόμος) καὶ Ἰλαρίων πυρὶ τελειοῦνται.

Στίχοι

Χλόη τις ἡ φλὸξ ἐστιν, εἰπόντος Πρόβου,

Ἰλάριος, Ναί, φησὶ φίλτατε Πρόβε.

Τῇ αὐτῇ ἡμέρᾳ , Μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Μοδέστου, Ἀρχιεπισκόπου Ἱεροσολύμων.

Στίχοι

Φέρει, Μόδεστε παμμάκαρ, καὶ σὸν τάφον,

Ἡ τὸν τάφον φέρουσα γῆ τοῦ Κυρίου.

Τὰ Ἐγκαίνια τοῦ Ναοῦ τοῦ Ἁγίου Μάρτυρος Χριστοφόρου, πλησίον τοῦ Ἁγίου Πολυεύκτου.

Τῇ αὐτῇ ἡμέρᾳ , Μνήμη τῆς Ἁγίας καὶ θαυματουργοῦ Θεοφανοῦς τῆς Βασιλίσσης, συζύγου γενομένης Λέοντος τοῦ σοφωτάτου Βασιλέως.

Στίχοι

Ἐγγὺς Βασιλὶς Θεοφανὼ Κυρίου,

ταῖς ἀρεταῖς ἔστηκεν ἐστιλβωμένη.

Μνήμη τῶν ἐν Ἁγίοις Πατέρων ἡμῶν Νικολάου πατριάρχου Κωνσταντινουπόλεως, καὶ Μέμνονος ἀρχιεπισκόπου Ἐφέσου.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

ΚΑΤΑΒΑΣΙΑΙ

Ὠδὴ α'. Ἦχος α'.

Χριστὸς γεννᾶται δοξάσατε· Χριστὸς ἐξ οὐρανῶν ἀπαντήσατε· Χριστὸς ἐπὶ γῆς ὑψώθητε. Ἄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ, καὶ ἐν εὐφροσύνῃ, ἀνυμνήσατε λαοί, ὅτι δεδόξασται.

Ὠδὴ γ'.

Τῷ πρὸ τῶν αἰώνων, ἐκ Πατρὸς γεννηθέντι ἀρρεύστως Υἱῷ, καὶ ἐπ' ἐσχάτων ἐκ Παρθένου, σαρκωθέντι ἀσπόρως, Χριστῷ τῷ Θεῷ βοήσωμεν· Ὁ ἀνυψώσας τὸ κέρας ἡμῶν, Ἅγιος εἶ Κύριε.

Ὠδὴ δ'.

Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐξ αὐτῆς, Χριστέ, ἐκ τῆς Παρθένου ἀνεβλάστησας, ἐξ ὄρους ὁ αἰνετός, κατασκίου δασέος· ἦλθες σαρκωθεὶς ἐξ ἀπειράνδρου, ὁ ἄυλος καὶ Θεός. Δόξα τῇ δυνάμει Σου Κύριε.

Ὠδὴ ε'.

Θεὸς ὢν εἰρήνης, Πατὴρ οἰκτιρμῶν, τῆς μεγάλης βουλῆς Σου τὸν Ἄγγελον, εἰρήνην παρεχόμενον, ἀπέστειλας ἡμῖν· ὅθεν θεογνωσίας, πρὸς φῶς ὁδηγηθέντες, ἐκ νυκτὸς ὀρθρίζοντες, δοξολογοῦμέν Σε, Φιλάνθρωπε.

Ὠδὴ ς'.

Σπλάγχνων Ἰωνᾶν, ἔμβρυον ἀπήμεσεν, ἐνάλιος θήρ, οἷον ἐδέξατο· τῇ Παρθένῳ δέ, ἐνοικήσας ὁ Λόγος, καὶ σάρκα λαβών, διελήλυθε φυλάξας ἀδιάφθορον· ἧς γὰρ οὐχ ὑπέστη ῥεύσεως, τὴν τεκοῦσαν κατέσχεν ἀπήμαντον.

Ὠδὴ ζ'.

Οἱ Παῖδες, εὐσεβείᾳ συντραφέντες, δυσσεβοῦς προστάγματος καταφρονήσαντες, πυρὸς ἀπειλὴν οὐκ ἐπτοήθησαν, ἀλλ' ἐν μέσῳ τῆς φλογός, ἑστῶτες ἔψαλλον· Ὁ τῶν πατέρων, Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Θαύματος ὑπερφυοῦς ἡ δροσοβόλος, ἐξεικόνισε κάμινος τύπον· οὐ γὰρ οὓς ἐδέξατο φλέγει νέους, ὡς οὐδὲ πῦρ τῆς Θεότητος, Παρθένου ἦν ὑπέδυ νηδύν· διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν· Εὐλογείτω, ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας.

Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτὸς...

ΤΙΜΙΩΤΕΡΑ (Ἦχος α')

Σπ/χ. Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

Τὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Σπ/χ. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

Τὴν Τιμιωτέραν...

Σπ/χ. Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

Τὴν Τιμιωτέραν...

Σπίχ. Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

Τὴν Τιμιωτέραν...

Σπίχ. Καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς, πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλεν κενούς.

Τὴν Τιμιωτέραν...

Σπίχ. Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Τὴν Τιμιωτέραν...

Καταβασία

Ὠδὴ θ'

Μεγάλυνον ψυχή μου, τὴν Τιμιωτέραν, καὶ ἐνδοξοτέραν, τῶν ἄνω στρατευμάτων.

Μυστήριον ξένον, ὁρῶ καὶ παράδοξον· οὐρανὸν τὸ σπήλαιον· θρόνον, χερουβικόν τὴν Παρθένον· τὴν φάτνην χωρίον, ἐν ᾧ ἀνεκλίθη ὁ ἀχώρητος, Χριστὸς ὁ Θεός· ὃν ἀνυμνοῦντες μεγαλύνομεν.

Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...

Ἐξαποστειλάριον

Ἦχος γ'. Ὁ οὐρανὸν τοῖς ἄστροις

Χριστῷ προσήγαγες Πάτερ, πιστῶν ἀγέλας ὡς ποιμήν, σοὶ δὲ προσφῦσα τῷ μόσχῳ, ὡς δάμαλις ἡ τεκοῦσα, συνανῃρέθη· μεθ' ἧς σε, νῦν Ἐλευθέριε μέλπω.

Θεοτοκίον.

Ἦχος γ'. Ὁ οὐρανὸν τοῖς ἄστροις

Καὶ σὲ μεσίτριαν Κόρη, προβάλλομαι Παναγία, πρὸς τὸν ἐκ σοῦ γεννηθέντα, ὅπως κολάσεως πάσης, ἀπαλλαγῶ καὶ βασάνων, τῶν αἰωνίων ὁ τάλας.

ΑΙΝΟΙ .

Ἦχος α'.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν· αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, πάντες οἱ Ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Ἦχος α'.

Πανεύφημοι Μάρτυρες ὑμᾶς.

Σπχ. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Ἰάσεων νάματα ὁ σός, ναὸς τοῖς προστρέχουσιν, ἀναπηγάζει ἑκάστοτε, Μόδεστε ἔνδοξε, καὶ ἐκπλύνει πάθη, καὶ βυθίζει φάλαγγας, δαιμόνων συνεργείᾳ τοῦ Πνεύματος, Χριστὸν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Σπχ. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ, σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Μόδεστε πανεύφημε πιστούς, ἡ σὴ μνήμη σήμερον, προσεκαλέσατο ἅπαντας, πανηγυρίσας σου, ἀρετὰς τὰς θείας, μαρτυρίου σκάμματα, θαυμάτων τὴν πληθὺν ἣν ἀπείργασας, Θεοῦ τῇ χάριτι, ἱερόαθλε τρισόλβιε, ὃν δυσώπει ὑπὲρ τῶν ὑμνούντων σε.

Σπχ. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ,

Ἀπαύγασμα ὤφθης ἀληθῶς, Ἱεράρχα Μόδεστε, τοῖς Ἱεράρχαις καὶ Μάρτυσι, καὶ γὰρ ἀήττητος, ἐν ἀγῶσιν ὤφθης, ἀῤῥαγὴς ἀκλόνητος, ὡς πῦργος εὐσεβείας καὶ πρόβολος, πάντων ἐνώπιον, δογματίζων ἀκριβέστατα, τῆς Τριάδος τὸ μέγα μυστήριον.

Σπχ. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Τυράννων ὠμότητι τὴν σήν, ἀνδρείαν ἀντέθηκας, Ἱερομάρτυς πολύαθλε, καὶ θείᾳ χάριτι, τούτους ἐκνικήσας, πρὸς Χριστὸν ἀνέδραμες, ἀθλήσας δι' αὐτὸν καρτερώτατα, ὃν νῦν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. δ'.

Τίς λαλήσει τὰς ἀριστείας σου σοφέ; ἢ τίς ἐξαριθμήσει τῶν ἀγώνων σου τὰ πλήθη; Πολλὰ γὰρ καὶ ὑπὲρ φύσιν, ὥσπερ ἄσαρκος ὑπήνεγκας, πλείονα δὲ τὰ βραβεία ἀσυγκρίτως ἐκομίσω, ἐκ τῆς παντοκρατορικῆς τοῦ Σωτῆρος Χριστοῦ, δεξιᾶς, Ἱερομάρτυς πανσεβάσμιε Μόδεστε. Οὐ μόνον γὰρ τῶν ζωηῤῥύτων παθημάτων αὐτοῦ κοινωνὸς ἠξιώθης γενέσθαι, ἀλλὰ καὶ τῆς ἀφθάρτου δόξης, ὡς ἱερεὺς καὶ Μάρτυς ἀξιοθαύμαστος.

Καὶ νῦν. Προεόρτιον.

Ἦχος πλ. δ'.

Ὑπόδεξαι Βηθλεέμ, τὴν τοῦ Θεοῦ μητρόπολιν, φῶς γὰρ τὸ ἄδυτον, ἐπὶ σὲ γεννῆσας ἥκεις, Ἄγγελοι θαυμάσατε ἐν οὐρανῷ, ἄνθρωποι δοξάσατε ἐπὶ τῆς γῆς, μάγοι ἐκ Περσίδος τὸ τρισόκλεον δῶρον προσκομίσατε, ποιμένες ἀγραυλοῦντες, τὸν τρισάγιον ὕμνον μελῳδήσατε. Πᾶσα πνοὴ αἰνεσάτω τὸν παντουργέτην.

Δοξολογία Μεγάλη.

Ἦχος πλ. δ'

Δόξα σοι τῷ δείξαντι τὸ φῶς. Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν, ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα· Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός,

Ἅγιος Ἰσχυρός,

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἀπολυτίκιον.

Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ὅσίως τὸν βίον σου διαπεράνας σοφέ, ποδήρει κεκόσμησας, ἱερωσύνης φαιδρῷ, ἱερόαθλε Μόδεστε, ὅθεν καὶ ἐναθλήσας, προθυμώτατα Πάτερ, νῦν ἐν ἀγαλλιάσει, τῷ Χριστῷ συναγάλλῃ, πρεσβεύων ὑπὲρ πάντων ἡμῶν τῶν εὐφημούντων σε.

ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

ΑΝΤΙΦΩΝΑ (τῆς ἑορτῆς)

Ἀντίφωνον Α'

Ἦχος β'.

Στίχ. Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

Στίχ. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Στίχ. Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Στίχ. Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Δόξα Πατρί...Καὶ νῦν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Ἀντίφωνον Β'. Ἦχος β'.

Στίχ. Αἶνει, ἡ ψυχή μου τὸν Κύριον, αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Σπίχ. Μακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Σπίχ. Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς·

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Σπίχ.. Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν.

Σῶσον, ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Δόξα Πατρὶ... Καὶ νῦν...

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων, καὶ καταδεξάμενος, διὰ τὴν ἡμετέραν σωτηρίαν, σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρω-θείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, Εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

Ἀντίφωνον Γ΄

Ἦχος δ΄.

Στ.: Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

Ἀπολυτίκιον.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ὁσίως τὸν βίον σου διαπεράνας σοφέ, ποδήρει κεκόσμησας, ἱερωσύνης φαιδρῷ, ἱερόαθλε Μόδεστε, ὅθεν καὶ ἐναθλήσας, προθυμώτατα Πάτερ, νῦν ἐν ἀγαλλιάσει, τῷ Χριστῷ συναγάλλῃ, πρεσβεύων ὑπὲρ πάντων ἡμῶν τῶν εὐφημούντων σε.

Στ.: Οἱ ἱερεῖς Σου Κύριε ἐνδύσονται δικαιοσύνην, καὶ οἱ Ὅσιοί Σου ἐν ἀγαλλιάσει ἀγαλλιάσονται.

Ἀπολυτίκιον.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ὁσίως τὸν βίον σου διαπεράνας σοφέ, ποδήρει κεκόσμησας, ἱερωσύνης φαιδρῷ, ἱερόαθλε Μόδεστε, ὅθεν καὶ ἐναθλήσας, προθυμώτατα Πάτερ, νῦν ἐν ἀγαλλιάσει, τῷ Χριστῷ συναγάλλῃ, πρεσβεύων ὑπὲρ πάντων ἡμῶν τῶν εὐφημούντων σε.

Μικρὰ Εἴσοδος.

Εἰσοδικὸν

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστός,, (ὁ β΄ χορὸς) ψάλλοντάς σοι, Ἀλληλούϊα.

Ἀπολυτίκιον.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ὁσίως τὸν βίον σου διαπεράνας σοφέ, ποδήρει κεκόσμησας, ἱερωσύνης φαιδρῷ, ἱερόαθλε Μόδεστε, ὅθεν καὶ ἐναθλήσας, προθυμώτατα Πάτερ, νῦν ἐν ἀγαλλιάσει, τῷ Χριστῷ συναγάλλῃ, πρεσβεύων ὑπὲρ πάντων ἡμῶν τῶν εὐφημούντων σε.

Ἀπολυτίκιον τοῦ Ναοῦ

Κοντάκιον

Προεόρτιον τῆς Χριστοῦ Γεννήσεως.

Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Ἡ Παρθένος σήμερον τὸν προαιώνιον Λόγον ἐν σπηλαίῳ ἔρχεται ἀποτεκεῖν ἀπορρήτως. Χόρευε, ἡ οἰκουμένη, ἀκουτισθεῖσα· δόξασον μετὰ ἀγγέλων καὶ τῶν ποιμένων, βουληθέντα ἐποφθῆναι παιδίον νέον, τὸν πρὸ αἰώνων Θεόν.

Τρισάγιον Ἀποστόλου

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. γ΄

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δύναμις.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

ΑΠΟΣΤΟΛΙΚΟΝ ΑΝΑΓΝΩΣΜΑ.

ΤΟΥ ΑΓΙΟΥ

Προκείμενον. Ἦχος βαρύς

Εὐφρανθήσεται δίκαιος ἐν τῷ Κυρίῳ.

Στίχ. Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου.

Πρὸς Τιμόθεον Β΄ Ἐπιστολῆς Παύλου τὸ Ἀναάγνωσμα.

Τέκνον Τιμόθεε, ἐνδυναμοῦ ἐν τῇ χάριτι τῇ ἐν Χριστῷ Ἰησοῦ, καὶ ἃ ἤκουσας παρ᾽ ἐμοῦ διὰ πολλῶν μαρτύρων, ταῦτα παράθου πιστοῖς ἀνθρώποις, οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους διδάξαι. Σὺ οὖν κακοπάθησον ὡς καλὸς στρατιώτης Ἰησοῦ Χριστοῦ. Οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ. Ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ. Τὸν κοπιῶντα γεωργὸν δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν. Νόει ὃ λέγω· δώῃ γάρ σοι ὁ Κύριος σύνεσιν ἐν πᾶσι. Μνημόνευε Ἰησοῦν Χριστὸν ἐγηγερμένον ἐκ νεκρῶν, ἐκ σπέρματος Δαυΐδ, κατὰ τὸ εὐαγγέλιόν μου, ἐν ᾧ κακοπαθῶ μέχρι δεσμῶν ὡς κακοῦργος· ἀλλ᾽ ὁ λόγος τοῦ Θεοῦ οὐ δέδεται. Διὰ τοῦτο πάντα ὑπομένω διὰ τοὺς ἐκλεκτούς, ἵνα καὶ αὐτοὶ σωτηρίας τύχωσι τῆς ἐν Χριστῷ Ἰησοῦ μετὰ δόξης αἰωνίου.

Ἀλληλούϊα. (γ΄) Ἦχος β΄.

Δίκαιος ὡς φοίνιξ ἀνθήσει, καὶ ὡσεὶ ἡ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσει.

Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Ἱεροῦ Χρυσοστόμου

Εἰς τὸ Ἐξαιρέτως

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σὲ τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Κοινωνικὸν

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

Ἦχος β΄

Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες, αὕτη γὰρ ἡμᾶς ἔσωσεν.

Ἀμὴν ἀμὴν ἀμὴν, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν τὴν αἰώνιον.

Πληρωθήτω τὸ στόμα ἡμῶν αἰνέσεώς Κύριε, ὅπως ὑμνήσωμεν τὴν δόξαν σου, ὅτι ἠξίωσας ἡμᾶς τῶν ἁγίων σου μετασχεῖν μυστηρίων· τήρησον ἡμᾶς ἐν τῷ σῷ ἁγιασμῷ, ὅλην τὴν ἡμέραν μελετᾶν τὴν δικαιοσύνην σου. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Ἦχος β΄

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπό τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. (τρὶς)

Ἀπόλυσις

Ἡ Μεταφορὰ Κειμένων
Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη
στὸν Ι.Ν. Ἁγίου Γεωργίου
Κουλούρας Βέροιας.